205 26. Τῆς εἰς τοὺς τετελευτηκότας προυνόησεν ὁσίας οὐ πολυτελείαις ἐνταφίων οὐ κατασκευαῖς μνημείων ἐπιφανῶν, ἀλλὰ τὰ μὲν περὶ τὴν κηδείαν τοῖς οἰκειοτάτοις ἐπιτελεῖν, πᾶσι δὲ τοῖς παριοῦσι καὶ προσελθεῖν καὶ συναποδύρασθαι. καθαίρειν δὲ καὶ τὸν οἶκον καὶ τοὺς ἐνοικοῦντας ἀπὸ κήδους, ἵνα πλεῖστον ἀπέχῃ τοῦ δοκεῖν καθαρὸς εἶναί τις φόνον ἐργασάμενος.

206 27. Γονέων τιμὴν μετὰ τὴν πρὸς θεὸν δευτέραν ἔταξεν καὶ τὸν οὐκ ἀμειβόμενον τὰς παρ' αὐτῶν χάριτας ἀλλ' εἰς ὁτιοῦν ἐλλείποντα λευσθησόμενον παραδίδωσι. καὶ παντὸς τοῦ πρεσβυτέρου τιμὴν ἔχειν τοὺς νέους φησίν, ἐπεὶ πρεσβύτατον ὁ θεός.

LLat Euseb. praep. euang. VIII 8, 36.

1 *κακοπαθεῖ*] *κακοπαθεῖ ἡ ψυχὴ* L et Eus. cod. J *καὶ τούτων* — 2 *ἔταξεν*] *dum ob hoc fit aliqua propter purificationis causam talibus imperauit* Lat *αὖ*] Eus. cod. G *αὖ πάλιν* Eus. cod. J *αὖ πάλιν ὡσ* L *διακριθεῖσαν* L 2 *ἐπὶ πᾶσι*] *ἐπίτασιν* L *προσέταξεν* L 3 *ἐπέτρεπεν* L 4 *εὐωχίαν* Eus. *συντελεῖν*] *συνάγειν* L *aggregari* Lat 5 *τῆς τροφῆς ἔταξε* om. LLat 6 *τὰ περὶ*] *περί τε* L et Eus cod. J *propter* Lat *καὶ τὰ περὶ* coni. *ἀναστρέφεσθαι* post *νόμους* add. L 9 *προυνόησεν*] *prospexit autem* Lat *προενόησεν* Eus. cod. J *οὐ*] *οὔτε* LLat *πολυτελείασ* L 10 *οὐ*] Eus. cod. G *οὔτε* LLat *οὐδὲ* Eus. cod. J *κατασκευὰσ* L *ἐπιφανῶν* corruptum, desidero participium uerbi 11 *περὶ τῆς κηδείας* Eus. codd. BG *προσέταξεν* (*ἔταξε* cod. J *imperauit* Lat) ante *τοῖς* add. LLat Eus. cod. J 12 *παριοῦσι*] *περιοῦσι* L *uiuentibus* Lat *θαπτομένου τινὸς* (*aliquo moriente* Lat) post *παριοῦσι* add. LLat Eus. cod. J *προσελθεῖν*] *συνελθεῖν* L *concurrant* Lat *συναποδύρασθαι*] *συναποδύρεσθαι* Eus. codd. BG *συναποδύρασθαι ἐποίησε νόμιμον* (*νόμιμον ἐποίησε* tr. Eus. cod. J) LLat Eus. cod. J *καθαίρεσθαι* L *purificari* Lat *δὲ*] *δὲ κελεύει* LLat Eus. cod. J *καὶ* om. Eus. cod. J *καὶ τὸν οἶκον* om. LLat 13 *διὰ τὸν μετελθόντα τοῦ βίου* post *κήδους* add. L 14 *καθαρὸς*] *αὐτοὺσ καθαροὺσ* L *τις φόνον ἐργασάμενος*] *τίσ δε φόνον ἐργασάμενοσ ἢ ἑκὼν ἢ ἄκων· οὐδὲ τὴν πρὸσ τούτοισ ἀπεσιώπησεν ἂν ἐκδίκησιν* L 15 *πρὸς τὸν θεὸν* Eus. cod. J 17 *ἐλλείποντα*] *ἐκκλίνοντα* L *(qui) contristat* Lat *λευσθησόμενον*] *λιθασθησόμενον* L *λευσθησόμενον παραδίδωσι*] *praecipit essę lapidandum iubet* Lat *παραδίδωσι*] *παραδίδοσθαι κελεύει* L *παραδίδωσι κελεύει* Eus. cod. J *πρεσβυτερίου* L 18 *φησὶν*] om. LLat Eus. cod. J *φασὶν* Eus. cod. B *πρεσβύτατον*] *omnium senior* Lat

κρύπτειν οὐδὲν ἐᾷ πρὸς φίλους· οὐ γὰρ εἶναι φιλίαν τὴν μὴ πάντα 207
πιστεύουσαν. κἂν συμβῇ τις ἔχθρα, τἀπόρρητα λέγειν κεκώλυκε.
δικάζων εἰ δῶρα τις λάβοι, θάνατος ἡ ζημία. περιορῶν ἑκέτην
βοηθεῖν ἑνὸν ὑπεύθυνος. ὃ μὴ κατέθηκέν τις οὐκ ἀναιρήσε- 208
ται, τῶν ἀλλοτρίων οὐδενὸς ἅψεται, τόκον οὐ λήψεται. [ταῦτα
καὶ πολλὰ τούτοις ὅμοια τὴν πρὸς ἀλλήλους ἡμῶν συνέχει κοι-
νωνίαν]

28. Πῶς δὲ καὶ τῆς πρὸς ἀλλοφύλους ἐπιεικείας ἐφρόντισεν 209
ὁ νομοθέτης, ἄξιον ἰδεῖν, [φανεῖται γὰρ ἄριστα πάντων προνοη-
σάμενος] ὅπως μήτε τὰ οἰκεῖα διαφθείρωμεν μήτε φθονήσωμεν
τοῖς μετέχειν τῶν ἡμετέρων προαιρουμένοις. ὅσοι μὲν γὰρ θέλου- 210
σιν ὑπὸ τοὺς αὐτοὺς ἡμῖν νόμους ζῆν ὑπελθόντες δέχεται φιλο-
φρόνως, οὐ τῷ γένει μόνον, ἀλλὰ καὶ τῇ προαιρέσει τοῦ βίου
νομίζων εἶναι τὴν οἰκειότητα. τοὺς δ' ἐκ παρέργου προσιόντας
ἀναμίγνυσθαι τῇ συνηθείᾳ οὐκ ἠθέλησεν.

29. Τἆλλα δὲ προείρηκεν, ὧν ἡ μετάδοσίς ἐστιν ἀναγκαία· 211
πᾶσι παρέχειν τοῖς δεομένοις πῦρ ὕδωρ τροφήν, ὁδοὺς φράζειν,
ἄταφον μὴ περιορᾶν, ἐπιεικεῖς δὲ καὶ τὰ πρὸς τοὺς πολεμίους
κριθέντας εἶναι· οὐ γὰρ ἐᾷ τὴν γῆν αὐτῶν πυρπολεῖν οὐδὲ τέμνειν 212
ἥμερα δένδρα, ἀλλὰ καὶ σκυλεύειν ἀπείρηκεν τοὺς ἐν τῇ μάχῃ πε-
σόντας, καὶ τῶν αἰχμαλώτων προυνόησεν, ὅπως αὐτῶν ὕβρις ἀπῇ,

LLat Eusebius praep. euang. VIII 8, 41.

1 *φιλίαν*] *φιλίαν δεῖ* L 2 *τις*] *δέ τισ* L *τἀπόρρητα λέγειν*] coni. *τούτων* (*τούτοις* cod. G) *ἀπόρρητα λέγειν* Eus *τὸ ἀπορεῖν παραλέγειν* L *prodi tamen arcana* Lat 3 *λάβῃ* Eus. codd. BG *περιορῶν — 4 ὑπεύθυνος*] *περιορᾶν καὶ τοῦ βοηθεῖν ἐν οἷσ ὑπεύθυνοσ* L *despiciens quod iustum est et auxilium reis offerens* Lat *ἑκέτην*] *οἰκέτην* Eus. codd. BG 5 *οὐδενὸς*] *οὐχ* L *non* Lat *τόκον*] *δανεισασ τόκον* LLat Eus. cod. J *ταῦτα — 7 κοινωνίαν* om. Eus. cod. G 8 *τῆς*] Eus. cod. G *περὶ τῆς* L *πρὸς τῆς* Eus. cod. J *πρὸς*] *εἰσ τοὺσ* L *περὶ τοὺς* Eus cod. J *circa* Lat *ἐπιεικείας*] *domestica* Lat *ἐφρόντισεν*] Eus. cod. G *ἐφρόνησεν* L et Eus. cod. J *habuerit* Lat 9 *φανεῖται — 10 προνοησάμενος* om. Eus. cod. G 10 *ὅπως*] *dum eo ita sanciente* Lat *διαφθείρωμεν*] Eus. cod. J *διαφθείροιμεν* Eus. cod. G *διαφθεροῦμεν* L *corrumpimus* Lat *φθονήσομεν* Eus. cod. G 11 *θέλουσιν*] *ἐθέλουσιν* L *ἐὰν θέλωσιν* Eus. cod. J 12 *ὑπελθόντασ* LLat *φιλοφρόνως*] *τε φιλανθρώπως* Eus. cod. G 15 *ταῖσ συνηθείαισ* L et Eus. cod. J *sollemnitatibus* Lat 16 *τὰ ἄλλα* Eus. *ἐστὶν ἡ μετάδοσισ* tr. L Eus. cod. J *ἐστιν* om. Eus. cod. B 18 *ἐπιεικῆ* L Eus. cod. J et ut uid. Lat *ἐπιεικεῖς — 20 δένδρα*] *mitissime etiam circa hostes quae sunt agenda sanciuit, ut neque terra eorum exuratur neque arbores fertiles incidantur* Lat 19 *κριθέντας εἶναι*] *εἶναι κριθέντα* L et ut uid. Lat *οὐ*] *οὐδὲ* LLat *τέμνειν*] *κόπτειν* L et Eus. cod. J *τα · · ειν* Eus. cod. B 20 *συγκεχώρηκεν* post *δένδρα* add. L Eus. cod. J *τῇ* om. L 21 *προενόησεν* Eus. cod. J

213 μάλιστα δὲ γυναικῶν. οὕτως δ᾽ ἡμερότητα καὶ φιλανθρωπίαν
ἡμᾶς ἐξεπαίδευσεν, ὡς μηδὲ τῶν ἀλόγων ζῴων ὀλιγωρεῖν, ἀλλὰ
μόνην ἐφῆκε τούτων χρῆσιν τὴν νόμιμον, πᾶσαν δ᾽ ἑτέραν ἐκώ-
λυσεν· ἃ δ᾽ ὥσπερ ἱκετεύοντα προσφεύγει ταῖς οἰκίαις ἀπεῖ-
πεν ἀνελεῖν. οὐδὲ νεοττοῖς τοὺς γονέας αὐτῶν ἐπέτρεψε συν- 5
εξαιρεῖν, φείδεσθαι δὲ κἂν τῇ πολεμίᾳ τῶν ἐργαζομένων ζῴων
214 καὶ μὴ φονεύειν. οὕτως πανταχόθεν τὰ πρὸς ἐπιείκειαν περιε-
σκέψατο, διδασκαλικοῖς μὲν τοῖς προειρημένοις χρησάμενος νό-
μοις, τοὺς δ᾽ αὖ κατὰ τῶν παραβαινόντων τιμωρητικοὺς τάξας
ἄνευ προφάσεως. 10
215 30. Ζημία γὰρ ἐπὶ τοῖς πλείστοις τῶν παραβαινόντων ὁ θά-
νατος, ἂν μοιχεύσῃ τις, ἂν βιάσηται κόρην, ἂν ἄρρενι τολμήσῃ
πεῖραν προσφέρειν, ἂν ὑπομείνῃ παθεῖν ὁ πειρασθείς. ἔστι δὲ
216 καὶ ἐπὶ δούλοις ὁμοίως ὁ νόμος ἀπαραίτητος. ἀλλὰ καὶ περὶ μέ-
τρων ἤν τις κακουργήσῃ ἢ σταθμῶν ἢ περὶ πράσεως ἀδίκου καὶ 15
δόλῳ γενομένης, κἂν ὑφέληταί τις ἀλλότριον, κἂν ὃ μὴ κατέθηκεν
ἀνέληται, πάντων εἰσὶ κολάσεις οὐχ οἷαι παρ᾽ ἑτέροις, ἀλλ᾽ ἐπὶ
217 τὸ μεῖζον. περὶ μὲν γὰρ γονέων ἀδικίας ἢ τῆς εἰς θεὸν ἀσεβείας
κἂν μελλήσῃ τις, εὐθὺς ἀπόλλυται. τοῖς μέντοι γε νομίμως βιοῦσι

LLat Porphyrius de abst. IV 14, Eusebius praep. euang. VIII 8, 46.

1 δ᾽] Eus. cod. G δὲ πόρρωθεν L Eus. cod. J *autem olim* Lat 2 ἡμᾶς ἐξεπαίδευσεν] Eus. cod. B ἡμᾶς ἐπαίδευσεν Eus. cod. G *διδάσκειν ἡμᾶσ ἐσπούδασεν* L Eus. cod. J *nos — studuit edocere* Lat ὡς μηδὲ] ὥσ ὅτ᾽ οὐδὲ L *ὥστε οὐδὲ* Eus. cod. J ὀλιγωρεῖν] *ὠλιγώρησεν* L et Eus. cod. J 3 μόνην] *μόνων μὲν* L *μόνην μὲν* Eus. cod. J ἐφῆκε] *ἀφῆκε* Eus *concedens* Lat νόμιμον] *νενομισμένην* L et Eus. cod. J πᾶσαν δ᾽] πᾶσιν τὴν δ᾽ L πᾶσαν — ἐκώλυσεν] *ab omni nos alia causa prohibuit* Lat δὲ Eus. cod. J 4 ἃ — 7 φονεύειν excripsit Porphyrius ἃ] ὅσα L et ut uid. Lat δὲ Eus. cod. J ὥσπερ] ὡσ L προσφεύγει] προσφύει L *oriuntur* Lat 5 νεοττοῖς om. Lat ἐπέτρεψε] ἐπέτρεπε post νεοττοῖς positum L 6 κελεύει ante κἀν add. LLat Porphyr. κἀν τῇ πολεμίᾳ] κἂν ἢ πολέμια LLat ἐργαζομένων] συνεξεργαζομένων L συνεργαζομένων Porphyr., om. Lat 7 καὶ μὴ φονεύειν om. Lat οὕτω Eus περιεσκέψατο] *obseruauit* Lat συνεσκέψατο Eus. codd. BG 9 ἄνευ] οὐκ ἄνευ Eus. codd. BG 11 δ] ἐστι LLat et Eus cod. J 12 μοιχεύῃ L κόριν L ἄρσενι L 13 πεῖρᾶν προφέρειν L ὁ om. L Eus. codd. BJ 14 περὶ τῶν μέτρων Eus. cod. B 15 ἤν] Eus. cod. G ἄν Eus. cod. B ἔν Eus. cod. J εἰ L κακουργήσῃ] coni. *κακουργήσειεν* L Eus ἢ περὶ] καὶ περὶ L ἢ coni. 18 περὶ] ἐπὶ coni. μὲν om. Eus. cod. G μὲν γὰρ om. Eus. cod. B θεὸν] L Eus. cod. B ἓν Eus. cod. G τὸν θεὸν Eus. cod. J 19 μελλήσει L μέλλῃ (μέλη codd. BJ) Eus εὐθέωσ L γε om. L νομίμως βιοῦσι] Eus. codd. BG *κατὰ τοὺσ νόμουσ πάντα πράττουσι* LLat Eus. cod. J fort. rectius

γέρας ἐστὶν οὐκ ἄργυρος οὐδὲ χρυσὸς οὐ κοτίνου στέφανος ἢ σελί-
νου καὶ τοιαύτη τις ἀνακήρυξις, ἀλλ᾽ αὐτὸς ἕκαστος αὑτῷ τὸ συνει- 218
δὸς ἔχων μαρτυροῦν πεπίστευκεν, τοῦ μὲν νομοθέτου προφητεύσαν-
τος, τοῦ δὲ Θεοῦ τὴν πίστιν ἰσχυρὰν παρεσχηκότος, ὅτι τοῖς τοὺς
νόμους διαφυλάξασι κἂν εἰ δέοι θνήσκειν ὑπὲρ αὐτῶν προθύμως
ἀποθανεῖν ἔδωκεν ὁ Θεὸς γενέσθαι τε πάλιν καὶ βίον ἀμείνω
λαβεῖν ἐκ περιτροπῆς. ὤκνουν δ᾽ ἂν ἐγὼ ταῦτα γράφειν, εἰ μὴ 219
διὰ τῶν ἔργων ἅπασιν ἦν φανερόν, ὅτι πολλοὶ καὶ πολλάκις ἤδη
τῶν ἡμετέρων περὶ τοῦ μηδὲ ῥῆμα φθέγξασθαι παρὰ τὸν νόμον
πάντα παθεῖν γενναίως προείλοντο.

31. [Κἂν τε τι μὴ συμβεβήκει γνώριμον ἡμῶν τὸ ἔθνος 220
ἅπασιν ἀνθρώποις ὑπάρχει κἂν φανερῷ κεῖσθαι τὴν ἐθελούσιον
ἡμῶν τοῖς νόμοις ἀκολουθίαν,] ἀλλά τις ἢ συγγράψαι λόγος αὐτοῖς 221
ἀνεγίνωσκε τοῖς Ἕλλησιν ἢ που περιτυχεῖν ἔξω τῆς γινωσκομένης
γῆς ἔφασκεν ἀνθρώποις τοιαύτην μὲν ἔχουσι δόξαν οὕτω σεμνὴν
περὶ Θεοῦ, τοιούτοις δὲ νόμοις πολὺν αἰῶνα βεβαίως ἐμμεμενηκόσι,
πάντας ἂν οἶμαι θαυμάσαι διὰ τὰς συνεχεῖς παρ᾽ αὐτοῖς μετα-
βολάς. ἀμέλει τῶν γράψαι τι παραπλήσιον εἰς πολιτείαν καὶ νό- 222

LLat Eusebius praep. euang. VIII 8, 50

1 *γέρας*] *τὸ γέρασ* L *ἀργύριον* Eus *οὐ*] *οὐ μὴν οὐδὲ* L Eus. cod. J *κοτίνου* — 2 *ἀνακήρυξις*] *ὁ διάλιθοσ στέφανοσ ἀλλὰ τὸ ὑπερβαῖνον ἅπαντα τα γήϊνα· καὶ θεοῦ ἐγγὺσ τὸ φίλον εἶναι καὶ γὰρ τοῦ θεοφιλοῦσ ἀνδρὸσ · τοιαύτη ἡ ἀνακήρυξισ* L *neque coronae capitis aut cuiusdam praedicandae festiuitatis* Lat 2 *ἀλλ᾽*] *ἀλλὰ καὶ* L *ἀλλὰ* Eus. cod. G *αὑτῷ*] *αὐτὸ* Eus. codd. BG 3 *ἔχον* Eus. cod. G *πεπίστευκεν*] *ualde proficit* Lat 4 *ἰσχυρὰν*] *ἐχυρὰν* L *firmissimam* Lat *ὅτι*] *ὅτι δὲ* Eus. cod. B *ὅτι* — 6 *Θεὸς*] *his qui seruauerunt leges licet pro eis mori contingat aliquibus concurrunt alacri ad occasum; dedit enim deus* Lat 5 *εἰ* om. Eus. cod. G, fort. recte *προθύμοις* coni. ex Lat *ἀποθανεῖν*] Eus. cod. G *ἀποθανὼν* Eus. cod. B *ἀποθανοῦσιν* L 6 *δέ-δωκεν* Eus. cod. G fort. recte 7 *ταῦτα*] *νῦν ταῦτα* LLat et Eus. cod. J 8 *ἦν ἅπασι* tr. L Eus. cod. J *ἤδη* om. Eus. cod. G 9 *ῥῆμα*] *ῥῆμα μόνον* LLat Eus. cod. J 10 *προείλοντο*] *ὑπέστησαν* L et Eus. cod. J *passi sunt* Lat 11 *κἂν τε* — 13 *ἀκολουθίαν* om. Eus. cod. G *κἂν τε τι*] *καίτοι γε εἰ* Eus. cod. J *κἂν τε* — 16 *ἐμμεμενηκόσι*] *uel si honorari contigit apud omnes homines nostram gentem et uoluntariam legis consequentiam esse manifestam, imbuebant graecos maiores nostri etiam extra regionem propriam constituti huiusmodi siquidem rectam* (*sententiam* add. ed. Bas.) *habent et tam gloriosam de deo talesque leges multo saeculo sic firmissime custodire* Lat 12 *ὑπάρχειν* Eus. cod. J 13 *ἀλλά τις* om. L *συγγράψαι*] *συγγραφὰσ* L *λόγος αὐτοῖς*] Eus. cod. G *λέγων αὐτὸσ* L Eus. cod. J 14 *ἀνεγίγνωσκε* L *που*] *που γε* L *γινωσκομένης*] *γινομένησ* L 16 *περὶ τοῦ θεοῦ* Eus *ἐμμεμενηκέναι* Eus. 17 *παρ᾽ αὐτοῖσ* L *apud nos* Lat 18 *τι* om. L *παραπλήσιον*] *παραπλεῖον* L *proxime* Lat *πολιτείασ* L

μους ἐπιχειρησάντων ὡς θαυμαστὰ συνθέντων κατηγοροῦσι, φάσκοντες αὐτοὺς λαβεῖν ἀδυνάτους ὑποθέσεις. καὶ τοὺς μὲν ἄλλους παραλείπω φιλοσόφους, ὅσοι τι τοιοῦτον ἐν τοῖς γράμμασιν ἐπραγ-
223 ματεύσαντο, Πλάτων δὲ θαυμαζόμενος παρὰ τοῖς Ἕλλησιν ὡς καὶ σεμνότητι βίου διενεγκὼν καὶ δυνάμει λόγων καὶ πειθοῖ πάντας ὑπεράρας τοὺς ἐν φιλοσοφίᾳ γεγονότας, ὑπὸ τῶν φασκόντων δεινῶν εἶναι τὰ πολιτικὰ μικροῦ δεῖν χλευαζόμενος καὶ κωμῳδούμενος
224 διατελεῖ. καίτοι τἀκείνου σκοπῶν συχνῶς τις ἂν εὕροι ῥᾷον καὶ ταῖς τῶν πολλῶν ἐγγιον συνηθείαις, αὐτὸς δὲ Πλάτων ὡμολόγηκεν, ὅτι τὴν ἀληθῆ περὶ θεοῦ δόξαν εἰς τὴν τῶν ὄχλων ἄνοιαν οὐκ ἦν
225 ἀσφαλὲς ἐξενεγκεῖν. ἀλλὰ τὰ μὲν Πλάτωνος λόγους τινὲς εἶναι κενοὺς νομίζουσι κατὰ πολλὴν ἐξουσίαν κεκαλλιγραφημένους, μάλιστα δὲ τῶν νομοθετῶν Λυκοῦργον τεθαυμάκασι καὶ τὴν Σπάρτην ἅπαντες ὑμνοῦσιν, ὅτι τοῖς ἐκείνου νόμοις ἐπὶ πλεῖστον ἐνεκαρτέ-
226 ρησαν. οὐκοῦν τοῦτο μὲν ὡμολογήσθω τεκμήριον ἀρετῆς εἶναι τὸ πείθεσθαι τοῖς νόμοις· οἱ δὲ Λακεδαιμονίους θαυμάζοντες τὸν ἐκείνων χρόνον ἀντιπαραβαλλέτωσαν τοῖς πλείοσιν ἢ δισχιλίοις
227 ἔτεσι τῆς ἡμετέρας πολιτείας, καὶ προσέτι λογιζέσθωσαν, ὅτι Λακεδαιμόνιοι ὅσον ἐφ' ἑαυτῶν χρόνον εἶχον τὴν ἐλευθερίαν ἀκριβῶς ἔδοξαν τοὺς νόμους διαφυλάττειν, ἐπεὶ μέντοι περὶ αὐτοὺς ἐγέ-
228 νοντο μεταβολαὶ τῆς τύχης, μικροῦ δεῖν ἁπάντων ἐπελάθοντο τῶν νόμων. ἡμεῖς δ' ἐν τύχαις γεγονότες μυρίαις διὰ τὰς τῶν βασι-

---

LLat Eusebius praep. euang. VIII 8, 51.

1 *θαυμαστὰ συνθέντων*] Eus. cod. G *θαυμαστὰ συντεθέντος* Eus. cod. J *θαυμαστῶν συνθετῶν* L *de incredibilibus compositionibus* Lat 2 *αὐτοῖς* L *ἀδυνάτους*] *ἀθανάτους* Eus. cod. J 3 *γράμμασιν*] Eus. codd. BG *συγγράμμασιν* L Eus. cod. J *conscriptionibus* Lat 6 *ὑπεράρας* post *γεγονότας* tr. Eus. cod. B *ὑπὸ τῶν — 7 πολιτικὰ*] *ab his qui dicebant pessimum esse de re publica conscribere* Lat *δεινοὺς* L 8 *τὰ ἐκείνου* L Eus. cod. B *σκοπῶν*] *σκώπτων* (*σκώπτειν* cod. G) Eus *συχνῶς — 9 συνηθείαις*] *frequenter et facile reperiet quae etiam consuetudini plurimorum proxima esse noscuntur* Lat *ῥᾷον*] *ῥᾶον ὄντα* L *ῥάονα ὄντα* ed. pr. 9 *τὰς* Eus *ἔγγιον*] *αἴτιον* L, om. Eus. cod. B *συνηθείας* Eus *ὡμολόγησεν* L *confessus est* Lat 10 *περὶ τοῦ θεοῦ* Eus. codd. GJ *περὶ θεοῦ δόξαν*] *πίστιν τοῦ θεοῦ* Eus. cod. B *εἰς*] *propter* Lat *ἄγνοιαν* LLat 11 *λόγους τινὲς*] *νόμους τινὰς* L 12 *κεκαλλιγραφομένους* Eus. cod. B 13 *τεθαυμάκασι*] *τε θαυμάζουσι* LLat 14 *τοὺς ἐκείνου νόμους* L *ἐκείνου*] *illorum* Lat *ἐνεκαρτέρησαν*] *perdurarunt* Lat *ἤνεγκεν* L *ἐκαρτέρησαν* Eus. cod. J *ἐνεκαρτέρησεν* Hudson 15 *μὲν*] *τε* L *ὡμολογήσθω*] Eus. cod. J *ὁμολογείσθω* L Eus. cod. G *ὡμολογείσθω* Eus. cod. B 17 *ἀντιπαραλαμβανέτωσαν* L *assumant* Lat 19 *ὅσον*] Eus. cod. G *μὲν ὅσον* LLat Eus. cod. J *ἐφ' αὐτῶν* L 20 *φυλάττειν* Eus. cod. J 21 *ἐξελάθοντο* L et Eus. cod. J 22 *δὲ* Eus *μυρίαις γεγονότες* tr. L et Eus. cod. J

λευσάντων τῆς Ἀσίας μεταβολὰς οὐδ' ἐν τοῖς ἐσχάτοις τῶν δεινῶν
τοὺς νόμους προύδομεν οὐκ ἀργίας οὐδὲ τρυφῆς αὐτοὺς χάριν περι-
έποντες, ἀλλ' εἴ τις ἐθέλοι σκοπεῖν, πολλῷ τινι τῆς δοκούσης
ἐπιτετάχθαι Λακεδαιμονίοις καρτερίας μείζονας ἄθλους καὶ πόνους
ἡμῖν ἐπιτεθέντας * οἱ μέν γε μήτε γῆν ἐργαζόμενοι μήτε περὶ 229
τέχνας πονοῦντες ἀλλὰ πάσης ἐργασίας ἄφετοι λιπαροὶ καὶ τὰ σώ-
ματα πρὸς κάλλος ἀσκοῦντες ἐπὶ τῆς πόλεως διῆγον, ἄλλοις ὑπη- 230
ρέταις πρὸς ἅπαντα τὰ τοῦ βίου χρώμενοι καὶ τὴν τροφὴν ἑτοίμην
παρ' ἐκείνων λαμβάνοντες, ἐφ ᾗν δὴ τοῦτο μόνον τὸ καλὸν ἔργον
καὶ φιλάνθρωπον ἅπαντα καὶ πράττειν καὶ πάσχειν ὑπομένοντες
τὸ κρατεῖν πάντων, ἐφ' οὓς ἂν στρατεύωσιν. ὅτι δὲ μηδὲ τοῦτο 231
κατώρθωσαν, ἐῶ λέγειν· οὐ γὰρ καθ' ἕνα μόνον, ἀλλὰ πολλοὶ
πολλάκις ἀθρόως τῶν τοῦ νόμου προσταγμάτων ἀμελήσαντες αὐ-
τοὺς μετὰ τῶν ὅπλων παρέδοσαν τοῖς πολεμίοις.

32. Ἆρ' οὖν καὶ παρ' ἡμῖν, οὐ λέγω τοσούτους, ἀλλὰ δύο ἢ 232
τρεῖς ἔγνω τις προδότας γενομένους τῶν νόμων ἢ θάνατον φοβη-
θέντας, οὐχὶ τὸν ῥᾷστον ἐκεῖνον λέγω τὸν συμβαίνοντα τοῖς μαχο-
μένοις, ἀλλὰ τὸν μετὰ λύμης τῶν σωμάτων, ὁποῖος εἶναι δοκεῖ
πάντων χαλεπώτατος; ὃν ἔγωγε νομίζω τινὰς κρατήσαντας ἡμῶν 233
οὐχ ὑπὸ μίσους προσφέρειν τοῖς ὑποχειρίοις, ἀλλὰ [ὡς] θαυμαστόν
τι θέαμα βουλομένους ἰδεῖν, εἴ τινές εἰσιν ἄνθρωποι μόνον εἶναι
κακὸν αὐτοῖς πεπιστευκότες, εἰ πρᾶξαί τι παρὰ τοὺς ἑαυτῶν νό-

---

LLat Eusebius praep. euang. VIII 8. 55.

2 *προύδομεν*] *προάγομεν* L *(a legibus) sumus alienati* Lat; fin. Euseb *τρυφῆς*] Dindorf *τροφῆσ* L *epulationis* Lat 3 *πολλῷ* — 5 *ἐπιτεθέντας*] *multo ampliori testimonio maiores excubias et labores nobis quam lacedaemoniis uidebit impositos* Lat 4 *καρτερίας*] Cotelerius *μαρτυρίασ* L; tum *ἂν εὕροι* uel simile addendum 5 *ἐπιτεθέντας*] ex Lat *ἐπιτιθέντασ* L *ἐπιτιθέντες* Lowthius *οἱ μέν γε*] *illi siquidem* Lat; *οἵ γε* conicerem si ad *Λακεδαιμονίοις* referri posset *μήτε* (ante *γῆν*) om. Lat 6 *πονοῦντεσ* ex *ποιοῦντεσ* corr. L 9 *ἐφ ᾗν* — 11 *κρατεῖν*] *solum opus bonum atque clemens iudicantes ad faciendum et patiendum quatenus praeualerent* Lat *ἐφ ᾗν δὴ τοῦτο μόνον*] *ἐφ' ἓν δὴ τοῦτο μόνον* Bekker *διὰ τοῦτο μόνον* uel *ἐφ' ἑνὶ δὴ τούτῳ* (et u. 11 *τῷ κρατεῖν*) coni. *τὸ καλὸν* — *φιλάνθρωπον* spuria uid. 16 *ἔγνω τις*] ed. pr. *ἔγνων* L *agniti sunt* Lat *φοβηθέντας* om. Lat 19 *ὃν* — 20 *ὑποχειρίοις*] *quam ut ego puto quidam praeualentes nobis non per odium subiectis imposuerunt* Lat *ὃν*] ex Lat *ὅσον* L *ὥστ'* ed. pr. 20 *προσφέρειν τοῖς*] *προσφέρεσθαι ὡς* ed. pr. *ὡς* spurium uid. 21 *βουλομένους*] ed. pr. *βουλόμενοσ* L *ἄνθρωποι*] coni. *οἱ ἄνθρωποι* L *ἄνθρωποι οἱ* ed. pr. *μόνον* — 22 *πεπιστευκότες*] *qui hoc tantummodo esse credant pessimum* Lat 22 *αὐτοῖς*] ed. pr. *αὐτουσ* L *εἰ* — 90, 1 *παραβιασθεῖεν*] *εἰ ἢ πρᾶξαί τι παρὰ τοὺς ἑαυτῶν νόμους ἢ μόνον εἰπεῖν βιασθεῖεν* coni.

234 μους εἰ λόγον εἰπεῖν παρ᾽ ἐκείνοις παραβιασθεῖεν. οὐ χρὴ δὲ θαυμάζειν, εἰ πρὸς θάνατον ἀνδρείως ἔχομεν ὑπὲρ τῶν νόμων παρὰ τοὺς ἄλλους ἅπαντας· οὐδὲ γὰρ τὰ ῥᾷστα δοκοῦντα τῶν ἡμετέρων ἐπιτηδευμάτων ἄλλοι ῥᾳδίως ὑπομένουσιν, αὐτουργίαν λέγω καὶ τροφῆς λιτότητα καὶ τὸ μηδὲν εἰκῇ μηδ᾽ ὡς ἔτυχεν ἕκαστος ἐπιτεθυμηκὼς φαγεῖν ἢ πιεῖν ἢ συνουσίᾳ προσελθεῖν ἢ πολυ-
235 τελείᾳ καὶ πάλιν ἀργίας ὑπομεῖναι τάξιν ἀμετακίνητον. ἀλλ᾽ οἱ τοῖς ξίφεσιν ὁμόσε χωροῦντες καὶ τοὺς πολεμίους ἐξ ἐφόδου τρεπόμενοι τοῖς προστάγμασιν τοῖς περὶ διαίτης οὐκ ἀντέβλεψαν. ἡμῖν δὲ πάλιν ἐκ τοῦ περὶ ταῦτα τῷ νόμῳ πειθαρχεῖν ἡδέως κἀκεῖ περίεστιν ἐπιδείκνυσθαι τὸ γενναῖον.

236 33. Εἶτα Ἀυσίμαχοι καὶ Μόλωνες καὶ τοιοῦτοί τινες ἄλλοι συγγραφεῖς, ἀδόκιμοι σοφισταί, μειρακίων ἀπατεῶνες, ὡς πάνυ
237 ἡμᾶς φαυλοτάτους ἀνθρώπων λοιδοροῦσιν. ἐγὼ δ᾽ οὐκ ἂν ἐβουλόμην περὶ τῶν παρ᾽ ἑτέροις νομίμων ἐξετάζειν· τὰ γὰρ αὐτῶν ἡμῖν φυλάττειν πάτριόν ἐστιν, οὐ τῶν ἀλλοτρίων κατηγορεῖν. καὶ περί γε τοῦ μήτε χλευάζειν μήτε βλασφημεῖν τοὺς νομιζομένους θεοὺς παρ᾽ ἑτέροις ἄντικρυς ἡμῖν ὁ νομοθέτης ἀπείρηκεν αὐτῆς
238 ἕνεκα προσηγορίας τοῦ θεοῦ. τῶν δὲ κατηγόρων διὰ τῆς ἀντιπαραθέσεως ἡμᾶς ἐλέγχειν οἰομένων οὐχ οἷόν τε κατασιωπᾶν, ἄλλως τε καὶ τοῦ λόγου μέλλοντος οὐχ ὑφ᾽ ἡμῶν ἐλεγχθήσεσθαι νῦν αὐτῶν συντιθέντων, ἀλλὰ ὑπὸ πολλῶν εἰρημένου καὶ λίαν εὐδο-
239 κιμούντων. τίς γὰρ τῶν παρὰ τοῖς Ἕλλησιν ἐπὶ σοφίᾳ τεθαυμασμένων οὐκ ἐπιτετίμηκεν καὶ ποιητῶν τοῖς ἐπιφανεστάτοις καὶ νομοθετῶν τοῖς μάλιστα πεπιστευμένοις, ὅτι τοιαύτας δόξας περὶ θεῶν
240 ἐξ ἀρχῆς τοῖς πλήθεσιν ἐγκατέσπειραν, ἀριθμῷ μὲν ὁπόσους ἂν αὐτοὶ θελήσωσιν ἀποφαινόμενοι ἐξ ἀλλήλων δὲ γινομένους καὶ κατὰ παντοίους τρόπους γενέσεων, τούτους δὲ καὶ διαιροῦντες τό-

---

1 εἰ] *uel* Lat ἢ ed. pr. ἐκείνους ed. pr. 5 μηδ᾽ ὡς — 6 φαγεῖν] *neque fortuito quod quisque desiderat uescatur* Lat 6 ἐπιτεθυμηκὼς] Hudson ὑποτεθύμηκεν L ὑποτεθυμήκως ed. pr. πολυτελείᾳ] LLat, desideratur genetiuus uelut ἐργασίας 7 ἀλλ᾽ εἰ] *sed illud adtendendum est si* Lat οἱ] ed. pr. εἰ L 9 ἀντέβλεψαν] Grotius ἂν τις βλέψειεν L *infringimus* Lat ἀντιβλέψειαν ed. pr. 12 Μόλωνες] ed. pr. ex Lat σόλωνες L 20 οὐχ] ed. pr. οὐκ L οἷόν τε L¹ ἄλλως τε — 23 εὐδοκιμούντων] *cum utique non a nobis nunc sermo compositus eos arguere uideatur, sed a multis probabiliter iam praemissus* Lat ἄλλως τε καὶ τοῦ μέλλοντος λεχθήσεσθαι νῦν οὐχ ὑφ᾽ ἡμῶν αὐτῶν συντεθέντος ἀλλὰ — εὐδοκιμούντων coni. 21 νῦν αὐτῶν] νῦν αὐτὸν ed. pr. τῶν νῦν αὐτὸν Hudson 22 εὐδοκιμούντων] Lowthius εὐδοκιμοῦντοσ L 27 ἀποφαινόμενοι] coni. *dicentes* Lat ἀποφήνασθαι L, cui propius est ἀποφηνάμενοι 28 τούτους δὲ spurium uid. καὶ post δὲ om. Lat

ποις καὶ διαίταις, ὥσπερ τῶν ζῴων τὰ γένη, τοὺς μὲν ὑπὸ γῆν, τοὺς δὲ ἐν θαλάττῃ, τοὺς μέντοι πρεσβυτάτους αὐτῶν ἐν τῷ ταρτάρῳ δεδεμένους * ὅσοις δὲ τὸν οὐρανὸν ἀπένειμαν τούτοις πατέρα 241
μὲν τῷ λόγῳ, τύραννον δὲ τοῖς ἔργοις καὶ δεσπότην ἐφιστάντες,
καὶ διὰ τοῦτο συνισταμένην ἐπιβουλὴν ἐπ᾽ αὐτὸν ὑπὸ γυναικὸς
καὶ ἀδελφοῦ καὶ θυγατρός, ἣν ἐκ τῆς ἑαυτοῦ κεφαλῆς ἐγέννησεν,
ἵνα δὴ συλλαβόντες αὐτὸν καθείρξωσιν, ὥσπερ αὐτὸς ἐκεῖνος τὸν
πατέρα τὸν ἑαυτοῦ.

34. Ταῦτα δικαίως μέμψεως πολλῆς ἀξιοῦσιν οἱ φρονήσει 242
διαφέροντες καὶ πρὸς τούτοις καταγελῶσιν, εἰ τῶν θεῶν τοὺς μὲν
ἀγενείους καὶ μειράκια, τοὺς δὲ πρεσβυτέρους καὶ γενειῶντας εἶναι
χρὴ δοκεῖν, ἄλλους δὲ τετάχθαι πρὸς ταῖς τέχναις, χαλκεύοντά τινα,
τὴν δὲ ὑφαίνουσαν, τὸν δὲ πολεμοῦντα καὶ μετὰ ἀνθρώπων μαχό-
μενον, τοὺς δὲ κιθαρίζοντας ἢ τοξικῇ χαίροντας, εἶτ᾽ αὐτοῖς ἐγγιγνο- 243
μένας πρὸς ἀλλήλους στάσεις καὶ περὶ ἀνθρώπων φιλονεικίας μέχρι
τοῦ μὴ μόνον ἀλλήλοις τὰς χεῖρας προσφέρειν, ἀλλὰ καὶ ὑπ᾽ ἀν-
θρώπων τραυματιζομένους ὀδύρεσθαι καὶ κακοπαθεῖν. τὸ δὲ δὴ 244
πάντων ἀσελγέστερον, τὴν περὶ τὰς μίξεις ἀκρασίαν καὶ τοὺς ἔρω-
τας πῶς οὐκ ἄτοπον μικροῦ δεῖν ἅπασι προσάψαι καὶ τοῖς ἄρρεσι
τῶν θεῶν καὶ ταῖς θηλείαις; εἶθ᾽ οἱ γενναιότατοι καὶ πρῶτος αὐ- 245
τὸς ὁ πατὴρ τὰς ἀπατηθείσας ὑπ᾽ αὐτοῦ καὶ γενομένας ἐγκύους
καθειργνυμένας ἢ καταποντιζομένας περιορᾷ καὶ τοὺς ἐξ αὐτοῦ
γεγονότας οὔτε σώζειν δύναται κρατούμενος ὑπὸ τῆς εἱμαρμένης
οὔτ᾽ ἀδακρυτὶ τοὺς θανάτους αὐτῶν ὑπομένειν. καλά γε ταῦτα 246
καὶ τοῖς ἄλλοις ἑπόμενα, μοιχείας μὲν ἐν οὐρανῷ βλεπομένης οὕτως
ἀναισχύντως ὑπὸ τῶν θεῶν, ὥστε τινὰς καὶ ζηλοῦν ὁμολογεῖν τοὺς
ἐπ᾽ αὐτῇ δεδεμένους· τί γὰρ οὐκ ἔμελλον, ὁπότε μηδ᾽ ὁ πρεσβύ-
τατος καὶ βασιλεὺς ἡδυνήθη τῆς πρὸς τὴν γυναῖκα μίξεως ἐπισχεῖν

---

3 *δεδεμένους*] *uinctos esse dixerunt* Lat *δεδεμένους διάγειν λέγοντες* coni. 5 *ἐπ᾽ αὐτὸν*] ed. pr. *ὑπ᾽ αὐτῶν* L *aduersus eum* Lat 6 *θυγατρός*] *θυγατρὸς πλάττοντες* ex Lat coni. *ἣν — ἐγέννησεν*] *quam ex eius fingunt capite generatam* Lat 7 *καθείρξωσιν*] *appenderent* Lat 9 *φρονήσει*] *sapientiae uirtute* Lat 10 *εἰ*] ed. pr. *si* Lat *ἢ* L 11 *ἀγενείους*] ed. pr. *ἀγενίους* L *ephebos* Lat fort. rectius 12 *τινὰ* L 13 *πολεμοῦντα*] *peregrinantem* Lat (h. e. *ἐκδημοῦντα*) 14 *ἐγγινομένας* ed. pr. 15 *περὶ ἀνθρώπων* s. m. 1 L 20 *τῶν θεῶν* om. Lat *οἱ γενναιότατοι*] *fortissimus* Lat *ὁ γενναιότατος* ed. pr. *αὐτὸς*] *eorum* Lat *καθειργνυμένας*] *disruptas* Lat 23 *σώιζειν* L *κρατούμενος — εἱμαρμένης*] *fato constrictos* Lat 25 *τοῖς ἄλλοις*] *his alia* Lat, unde *τούτοις ἄλλα* Hudson *οὐρανῷ*] *οὔρῳ* L (*οὔνῳ* erat scribendum) 27 *ἔμελλον*] ed. pr. ex Lat *ἔμελλεν* L recte si u. 26 *τινὰ* repositum erit. cf. Hom. Od. VIII. 334 28 *ἐδυνήθη* ed. pr.

247 τὴν ὁρμὴν ὅσον γοῦν εἰς τὸ δωμάτιον ἀπελθεῖν; οἱ δὲ δὴ δουλεύοντες τοῖς ἀνθρώποις θεοὶ καὶ νῦν μὲν οἰκοδομοῦντες ἐπὶ μισθῷ νῦν δὲ ποιμαίνοντες, ἄλλοι δὲ τρόπον κακούργων ἐν χαλκῷ δεσμωτηρίῳ δεδεμένοι, τίνα τῶν εὖ φρονούντων οὐκ ἂν παροξύνειαν, ὡς τοῖς ταῦτα συνθεῖσιν ἐπιπλῆξαι καὶ πολλὴν εὐήθειαν καταγνῶναι
248 τῶν προσεμένων; οἱ δὲ καὶ δεῖμόν τινα καὶ φόβον ἤδη δὲ καὶ λύσσαν καὶ ἀπάτην καὶ τί γὰρ οὐχὶ τῶν κακίστων παθῶν εἰς θεοῦ φύσιν καὶ μορφὴν ἀνέπλασαν· τοῖς δὲ εὐφημοτέροις τούτων καὶ
249 θύειν τὰς πόλεις ἔπεισαν. τοιγαροῦν εἰς πολλὴν ἀνάγκην καθίστανται τοὺς μέν τινας τῶν θεῶν νομίζειν δοτῆρας ἀγαθῶν, τοὺς δὲ καλεῖν ἀποτροπαίους, εἶτα δὲ τούτους ὥσπερ τοὺς πονηροτάτους τῶν ἀνθρώπων χάρισι καὶ δώροις ἀποσείονται, μέγα τι λήψεσθαι κακὸν ὑπ' αὐτῶν προσδοκῶντες, εἰ μὴ μισθὸν αὐτοῖς παράσχοιεν.
250 35. Τί τοίνυν τὸ αἴτιον τῆς τοσαύτης ἀνωμαλίας καὶ περὶ τὸ θεῖον πλημμελείας; ἐγὼ μὲν ὑπολαμβάνω τὸ μήτε τὴν ἀληθῆ τοῦ θεοῦ φύσιν ἐξ ἀρχῆς συνιδεῖν αὐτῶν τοὺς νομοθέτας μήθ' ὅσον καὶ λαβεῖν ἠδυνήθησαν ἀκριβῆ γνῶσιν διορίσαντας πρὸς τοῦτο
251 ποιήσασθαι τὴν ἄλλην τάξιν τοῦ πολιτεύματος, ἀλλ' ὥσπερ ἄλλο τι τῶν φαυλοτάτων ἐφῆκαν τοῖς μὲν ποιηταῖς οὕστινας ἂν βούλωνται θεοὺς εἰσάγειν πάντα πάσχοντας, τοῖς δὲ ῥήτορσι πολιτο-
252 γραφεῖν κατὰ ψήφισμα τῶν ξένων θεῶν τὸν ἐπιτήδειον· πολλῆς δὲ καὶ ζωγράφοι καὶ πλάσται τῆς εἰς τοῦτο παρὰ τῶν Ἑλλήνων ἀπέλαυσαν ἐξουσίας, αὐτὸς ἕκαστός τινα μορφὴν ἐπινοῶν, ὁ μὲν ἐκ πηλοῦ πλάττων, ὁ δὲ γράφων, οἱ δὲ μάλιστα δὴ θαυμαζόμενοι τῶν δημιουργῶν τὸν ἐλέφαντα καὶ τὸν χρυσὸν ἔχουσι τῆς ἀεὶ και-
253 νουργίας τὴν ὑπόθεσιν. [καὶ τὰ μὲν τῶν ἱερῶν ἐν ἐρημίᾳ παντελῶς εἰσιν, τὰ δὲ ἐμπερισπούδαστα καθάρσεσι παντοδαπαῖς περικοσμούμενα.] εἶθ' οἱ μὲν πρότερον ἐν ταῖς τιμαῖς ἀκμάσαντες θεοὶ γεγηράκασιν· [οἱ δὲ ὑπακμάζοντες τούτων ἐν δευτέρᾳ τάξει
254 ὑποβέβληνται] οὕτω γὰρ εὐφημότερον λέγειν· ἄλλοι δὲ καινοί τινες εἰσαγόμενοι θρησκείας τυγχάνουσιν, [ὡς ἐν παρεκβάσει ὧν προεί-

---

1 ὅσον — ἀπελθεῖν om. Lat 3 δεσμωτηρίῳ fort. spurium; post δεδεμένοι tr. Hudson 4 ὡς] coni. *ut* Lat καὶ L 6 προσεμένων] coni. *credentium* Lat προεμένων L προσιεμένων Hudson 10 δωτῆρας L^1 11 τοῖς πονηροτάτοις L^1 20 εἰσάγειν] ed. pr. εἰσάγει L τοῖς δὲ — 21 ἐπιτήδειον] *rhetoribus autem ut de re publica scriberent et de peregrinis diis decreta proferrent* Lat 21 κατὰ ψήφισμα τῶν] coni. καταψηφισμάτων L διὰ ψηφισμάτων Lowthius 23 ἀπήλαυσαν L, corr. Dindorf 26 καὶ τὰ μὲν — 28 περικοσμούμενα om. Lat 29 οἱ δὲ — 30 ὑποβέβληνται om. Lat ἐπακμάζοντες Hudson 31 εἰσαγόμενοι] *clam introducti* Lat ὡς — 93, 1 καταλιπεῖν om. Lat

πομεν τοὺς τόπους ἐρημωθέντας καταλιπεῖν] καὶ τῶν ἱερῶν τὰ μὲν ἐρημοῦται, τὰ δὲ νεωστὶ κατὰ τὴν αὐτῶν βούλησιν ἕκαστος ἱδρύεται, δέον [τοίνυν] τοὐναντίον τὴν περὶ τοῦ θεοῦ δόξαν αὐτοὺς καὶ τὴν πρὸς αὐτὸν τιμὴν ἀμετακίνητον διαφυλάττειν.

36. Ἀπολλώνιος μὲν οὖν ὁ Μόλων τῶν ἀνοήτων εἷς ἦν καὶ 255
τετυφωμένων, τοὺς μέντοι κατ' ἀλήθειαν ἐν τοῖς Ἑλληνικοῖς φιλοσοφήσαντας οὔτε τῶν προειρημένων οὐδὲν διέλαθεν οὔτε τὰς ψυχρὰς προφάσεις τῶν ἀλληγοριῶν ἠγνόησαν, διόπερ τῶν μὲν εἰκότως κατεφρόνησαν, εἰς δὲ τὴν ἀληθῆ καὶ πρέπουσαν περὶ τοῦ θεοῦ δόξαν ἡμῖν συνεφώνησαν. ἀφ' ἧς ὁρμηθεὶς ὁ Πλάτων οὔτε τῶν 256
ἄλλων οὐδένα ποιητῶν φησι δεῖν εἰς τὴν πολιτείαν παραδέχεσθαι καὶ τὸν Ὅμηρον εὐφήμως ἀποπέμπεται στεφανώσας καὶ μύρον αὐτοῦ καταχέας, ἵνα δὴ μὴ τὴν ὀρθὴν δόξαν περὶ θεοῦ τοῖς μύθοις ἀφανίσειε. μάλιστα δὲ Πλάτων μεμίμηται τὸν ἡμέτερον νομοθέτην 257
κἀν τῷ μηδὲν οὕτω παίδευμα προστάττειν τοῖς πολίταις ὡς τὸ πάντας ἀκριβῶς τοὺς νόμους ἐκμανθάνειν, καὶ μὴν καὶ περὶ τοῦ μὴ δεῖν ὡς ἔτυχεν ἐπιμίγνυσθαί τινας ἔξωθεν, ἀλλ' εἶναι καθαρὸν τὸ πολίτευμα τῶν ἐμμενόντων τοῖς νόμοις προυνόησεν. ὧν οὐδὲν 258
λογισάμενος ὁ Μόλων Ἀπολλώνιος ἡμῶν κατηγόρησεν, ὅτι μὴ παραδεχόμεθα τοὺς ἄλλαις προκατειλημμένους δόξαις περὶ θεοῦ μηδὲ κοινωνεῖν ἐθέλομεν τοῖς καθ' ἑτέραν συνήθειαν βίου ζῆν προαιρουμένοις. ἀλλ' οὐδὲ τοῦτ' ἔστιν ἴδιον ἡμῶν, κοινὸν δὲ πάν- 259
των, οὐχ Ἑλλήνων δὲ μόνων, ἀλλὰ καὶ τῶν ἐν τοῖς Ἕλλησιν εὐδοκιμωτάτων· Λακεδαιμόνιοι δὲ καὶ ξενηλασίας ποιούμενοι διετέλουν καὶ τοῖς αὐτῶν ἀποδημεῖν πολίταις οὐκ ἐπέτρεπον διαφθορὰν ἐξ ἀμφοῖν ὑφορώμενοι γενήσεσθαι περὶ τοὺς νόμους. ἐκείνοις μὲν 260
οὖν τάχ' ἂν δυσκολίαν τις ὀνειδίσειεν εἰκότως· οὐδενὶ γὰρ οὔτε τῆς πολιτείας οὔτε τῆς παρ' αὐτοῖς μετεδίδοσαν διατριβῆς· ἡμεῖς 261
δὲ τὰ μὲν τῶν ἄλλων ζηλοῦν οὐκ ἀξιοῦμεν, τοὺς μέντοι μετέχειν

---

2 ἐρημοῦται] coni. ἐρημοῦνται L αὐτῶν] ex Lat *eorum* Lat τῶν ἀνῶν (h. e. τῶν ἀνθρώπων) L ἕκαστος] ἑκάστοις coni. 3 ἱδρύεται] ἵδρυται coni. δέον — 4 δια φυλάττειν] *qua propter arbitror e diuerso nosse magis indigent qualis secta sit circa deum et quomodo ei honor immobili religione seruetur* Lat τοίνυν om. ed. pr. 6 τοῖς Ἑλληνικοῖς] *graeco* Lat τοῖς Ἕλλησι coni. 7 οὔτε τὰς — 8 ἠγνόησαν] *neque frigidae allegoriae causas ignorauerunt* Lat ψυχρὰς] ed. pr. ex Lat ψυχὰς L 12 στεφανώσας] *fanum ei constituens* Lat 15 κἀν — 16 πάντας] *licet nullam eruditionem huiusmodi suis ciuibus imperasset, id est ut omnes* Lat ὡς τὸ] ed. pr. ὥστε L 19 ὁ Μόλων Ἀπολλώνιος] *apollonius moloni* Lat 23 Ἑλλήνων] *rerum* Lat 25 καὶ τοῖς — ἐπέτρεπον om. Lat 26 περὶ] *extra* (h. e. παρὰ) Lat 27 τάχ' ἄν] coni. τάχα L ἄν ante εἰκότως add. ed. pr. οὔτε] ed. pr. οὐδὲ L 28 τῆσ ex τοῖσ corr. L

τῶν ἡμετέρων βουλομένους ἡδέως δεχόμεθα. καὶ τοῦτο ἂν εἴη τεκμήριον, οἶμαι, φιλανθρωπίας ἅμα καὶ μεγαλοψυχίας.

262 37. Ἐῶ περὶ Λακεδαιμονίων ἐπὶ πλείω λέγειν. οἱ δὲ κοινὴν εἶναι τὴν ἑαυτῶν δόξαντες πόλιν Ἀθηναῖοι πῶς περὶ τούτων εἶχον, Ἀπολλώνιος ἠγνόησεν, ὅτι καὶ τοὺς ῥῆμα μόνον παρὰ τοὺς ἐκείνων
263 νόμους φθεγξαμένους περὶ θεῶν ἀπαραιτήτως ἐκόλασαν. τίνος γὰρ ἑτέρου χάριν Σωκράτης ἀπέθανεν; οὐ γὰρ δὴ προεδίδου τὴν πόλιν τοῖς πολεμίοις οὐδὲ τῶν ἱερῶν ἐσύλησεν οὐδέν, ἀλλ' ὅτι καινοὺς ὅρκους ὤμνυεν καί τι δαιμόνιον αὐτῷ σημαίνειν ἔφασκεν ἢ διαπαίζων, ὡς ἔνιοι λέγουσι, διὰ ταῦτα κατεγνώσθη κώνειον πιὼν
264 ἀποθανεῖν. καὶ διαφθείρειν δὲ τοὺς νέους ὁ κατήγορος αὐτὸν ᾐτιᾶτο, τῆς πατρίου πολιτείας καὶ τῶν νόμων ὅτι προῆγεν αὐτοὺς καταφρονεῖν. Σωκράτης μὲν οὖν πολίτης Ἀθηναίων τοιαύτην ὑπέ-
265 μεινε τιμωρίαν. Ἀναξαγόρας δὲ Κλαζομένιος ἦν, ἀλλ' ὅτι νομιζόντων Ἀθηναίων τὸν ἥλιον εἶναι θεὸν ὃδ' αὐτὸν ἔφη μύδρον εἶναι διάπυρον, θάνατον αὐτοῦ παρ' ὀλίγας ψήφους κατέγνωσαν.
266 καὶ Διαγόρᾳ τῷ Μηλίῳ τάλαντον ἐπεκήρυξαν, εἴ τις αὐτὸν ἀνέλοι, ἐπεὶ τὰ παρ' αὐτοῖς μυστήρια χλευάζειν ἐλέγετο. καὶ Πρωταγόρας εἰ μὴ θᾶττον ἔφυγε, συλληφθεὶς ἂν ἐτεθνήκει γράψαι τι δόξας
267 οὐχ ὁμολογούμενον τοῖς Ἀθηναίοις περὶ θεῶν. τί δὲ δεῖ θαυμάζειν, εἰ πρὸς ἄνδρας οὕτως ἀξιοπίστους διετέθησαν, οἵ γε μηδὲ γυναικῶν ἐφείσαντο; νῦν γὰρ τὴν ἱέρειαν ἀπέκτειναν, ἐπεί τις αὐτῆς κατηγόρησεν, ὅτι ξένους ἐμύει θεούς· νόμῳ δ' ἦν τοῦτο παρ' αὐτοῖς κεκωλυμένον καὶ τιμωρία κατὰ τῶν ξένον εἰσαγόντων
268 θεὸν ὥριστο θάνατος. οἱ δὲ τοιούτῳ νόμῳ χρώμενοι δῆλον ὅτι τοὺς τῶν ἄλλων οὐκ ἐνόμιζον εἶναι θεούς· οὐ γὰρ ἂν αὐτοῖς πλειό-
269 νων ἀπολαύειν ἐφθόνουν. τὰ μὲν οὖν Ἀθηναίων ἐχέτω καλῶς. Σκύθαι δὲ φόνοις χαίροντες ἀνθρώπων καὶ βραχὺ τῶν θηρίων

---

3 ἐπὶ πλείω] *amplius* Lat ἐπὶ πλεῖον Bekker ἔτι πλείω coni. κοινὴν] *communem — omnibus* Lat 5 ὅτι] *hi namque* Lat, unde οἳ siue οἵ γε coni. 10 ἢ διαπαίζων] *seorsum ludens* Lat ἢ σπουδάζων ἢ διαπαίζων Hudson νὴ Δία παίζων coni. 11 ἀποθανεῖν, ο et εἶν i. ras. L 13 Ἀθηναίων] *atheniensis* Lat Ἀθηναῖος ὤν coni. 15 μύδρον] Hudson ex Diogen. La. II 8 μύλον L μύδρον εἶναι διάπυρον] *insensatum et ignotum* Lat 17 Μηλίῳ] ed. pr. ex Lat μηλισίω, η ex ι corr. L 18 Πρωταγόρας] *pithagoras* Lat 22 νῦν] νῦν μὲν ed pr. τὴν] *quendam* Lat τινα Hudson 23 νόμῳ — 25 θάνατος] *puto autem erat hoc apud eos decretum aduersus eos, qui peregrinum introducerent deum, supplicium mortis inferebatur* Lat τοῦτο ex τούτω corr. L 24 κεκωλυμένον] ed. pr. κεκαλυμμένον L 26 αὐτοῖς fort. melius 27 τὰ μὲν — καλῶς om. Lat ἐχέτω] coni. ᾤιχετο L

διαφέροντες, ὅμως τὰ παρ᾽ αὐτοῖς οἴονται δεῖν περιστέλλειν, καὶ τὸν ὑπὸ τῶν Ἑλλήνων ἐπὶ σοφίᾳ θαυμασθέντα τὸν Ἀνάχαρσιν ἐπανελθόντα πρὸς αὐτοὺς ἀνεῖλον, ἐπεὶ τῶν Ἑλληνικῶν ἐθῶν ἔδοξεν ἥκειν ἀνάπλεως, πολλοὺς δὲ καὶ παρὰ Πέρσαις ἄν τις εὕροι καὶ διὰ τὴν αὐτὴν αἰτίαν κεκολασμένους. ἀλλὰ δῆλον ὅτι τοῖς 270 Περσῶν ἔχαιρε νόμοις ὁ Ἀπολλώνιος κἀκείνους ἐθαύμαζεν, ὅτι τῆς ἀνδρείας αὐτῶν ἀπέλαυσαν οἱ Ἕλληνες καὶ τῆς ὁμογνωμοσύνης ἧς εἶχον περὶ θεῶν, ταύτης μὲν [οὖν] ἐν τοῖς ἱεροῖς οἷς κατέπρησαν, τῆς ἀνδρείας δὲ δουλεῦσαι παρὰ μικρὸν ἐλθόντες, ἁπάντων δὲ καὶ τῶν ἐπιτηδευμάτων μιμητὴς ἐγένετο τῶν Περσικῶν γυναῖκας ἀλλοτρίας ὑβρίζων καὶ παῖδας ἐκτέμνων. παρ᾽ ἡμῖν δὲ θάνατος ὥρισται, 271 κἂν ἄλογόν τις οὕτω ζῷον ἀδικῇ· καὶ τούτων ἡμᾶς τῶν νόμων ἀπαγαγεῖν οὔτε φόβος ἴσχυσεν τῶν κρατησάντων οὔτε ζῆλος τῶν παρὰ τοῖς ἄλλοις τετιμημένων. οὐδὲ τὴν ἀνδρείαν ἠσκήσαμεν ἐπὶ 272 τῷ πολέμους ἄρασθαι χάριν πλεονεξίας, ἀλλ᾽ ἐπὶ τῷ τοὺς νόμους διαφυλάττειν. τὰς γοῦν ἄλλας ἐλαττώσεις πράως ὑπομένοντες, ἐπειδάν τινες ἡμᾶς τὰ νόμιμα κινεῖν ἀναγκάζωσι, τότε καὶ παρὰ δύναμιν αἱρούμεθα πολέμους καὶ μέχρι τῶν ἐσχάτων ταῖς συμφοραῖς ἐγκαρτεροῦμεν. διὰ τί γὰρ ἂν καὶ ζηλώσαιμεν τοὺς ἑτέρων 273 νόμους ὁρῶντες μηδὲ παρὰ τοῖς θεμένοις αὐτοὺς τετηρημένους; πῶς γὰρ οὐκ ἔμελλον Λακεδαιμόνιοι μὲν τῆς ἀνεπιμίκτου καταγνώσεσθαι πολιτείας καὶ τῆς περὶ τοὺς γάμους ὀλιγωρίας, Ἠλεῖοι δὲ καὶ Θηβαῖοι τῆς παρὰ φύσιν καὶ [ἄγαν] ἀνέδην πρὸς τοὺς ἄρρενας μίξεως; ἃ γοῦν πάλαι κάλλιστα καὶ συμφορώτατα πράττειν ὑπε- 274 λάμβανον, ταῦτ᾽ εἰ καὶ μὴ παντάπασι τοῖς ἔργοις πεφεύγασιν, οὐχ ὁμολογοῦσιν, ἀλλὰ καὶ τοὺς περὶ αὐτῶν νόμους ἀπόμνυνται το- 275 σοῦτόν ποτε παρὰ τοῖς Ἕλλησιν ἰσχύσαντας, ὥστε καὶ τοῖς θεοῖς τὰς τῶν ἀρρένων μίξεις ἐπεφήμισαν, κατὰ τὸν αὐτὸν δὲ λόγον καὶ τοὺς τῶν γνησίων ἀδελφῶν γάμους, ταύτην ἀπολογίαν αὑτοῖς τῶν ἀτόπων καὶ παρὰ φύσιν ἡδονῶν συντιθέντες.

38. Ἐῶ νῦν περὶ τῶν τιμωριῶν λέγειν, ὅσας μὲν ἐξ ἀρχῆς 276

---

1 ὅμως — περιστέλλειν] *arbitrantur tamen sua mysteria oportere esse custodienda* Lat 2 *anacharsium* Lat 3 ἐθῶν] *deorum* Lat 7 ἀπήλαυσαν L, corr. Dindorf 9 ἁπάντων δὲ aut corrupta aut spuria 17 ἐπιδ᾽ ἄν, ι ex ει corr. L μηδὲ] Dindorf μήτε L 22 Ἠλεῖοι] *miliaci* codd. Lat 23 ἄγαν] suspectum om. Lat ἀνέδην] i. marg. γρ καὶ ἀναίδην L *impudentem* Lat 25 ταῦτ᾽ — 27 ὥστε] *haec ergo cum ipsi omnino rebus efficerent* (*effugerent* coni.) *etiam suis legibus miscuerunt, quod tantum aliquando ualuit apud graecos, ut* Lat 26 ἀπόμνυνται] coni. ἀπομίγνυνται LLat 27 ἰσχύσαντας] ed. pr. ἰσχύσαντες L 29 αὐτοῖς L

ἔδοσαν οἱ πλεῖστοι νομοθέται τοῖς πονηροῖς διαλύσεις, ἐπὶ μοιχείας μὲν ζημίας χρημάτων, ἐπὶ φθορᾶς δὲ καὶ γάμους νομοθετήσαντες, ὅσας δὲ περὶ τῆς ἀσεβείας προφάσεις περιέχουσιν ἀρνήσεως, εἰ καί τις ἐπιχειρήσειεν ἐξετάζειν· ἤδη γὰρ παρὰ τοῖς πλείοσι με-
277 λέτη γέγονε τοῦ παραβαίνειν τοὺς νόμους. οὐ μὴν καὶ παρ' ἡμῖν, ἀλλὰ κἂν πλούτου καὶ πόλεων καὶ τῶν ἄλλων ἀγαθῶν στερηθῶμεν, ὁ γοῦν νόμος ἡμῖν ἀθάνατος διαμένει, καὶ οὐδεὶς Ἰουδαίων οὔτε μακρὰν οὕτως ἂν ἀπέλθοι τῆς πατρίδος οὔτε πικρὸν φοβηθήσεται
278 δεσπότην, ὡς μὴ πρὸ ἐκείνου δεδιέναι τὸν νόμον. εἰ μὲν οὖν διὰ τὴν ἀρετὴν τῶν νόμων οὕτως πρὸς αὐτοὺς διακείμεθα, συγχωρησάτωσαν ὅτι κρατίστους ἔχομεν νόμους. εἰ δὲ φαύλοις οὕτως ἡμᾶς ἐμμένειν ὑπολαμβάνουσι, τί οὐκ ἂν αὐτοὶ δικαίως πάθοιεν τοὺς
279 κρείττονας οὐ φυλάττοντες; ἐπεὶ τοίνυν ὁ πολὺς χρόνος πιστεύεται πάντων εἶναι δοκιμαστὴς ἀληθέστατος, τοῦτον ἂν ποιησαίμην ἐγὼ μάρτυρα τῆς ἀρετῆς ἡμῶν τοῦ νομοθέτου καὶ τῆς ὑπ' ἐκείνου φήμης περὶ τοῦ θεοῦ παραδοθείσης· ἀπείρου γὰρ τοῦ χρόνου γεγονότος, εἴ τις αὐτὸν παραβάλλοι ταῖς τῶν ἄλλων ἡλικίαις νομοθετῶν, παρὰ πάντας εὕροι τοῦτον *

280 39. ὑφ' ἡμῶν τε διηλέγχθησαν οἱ νόμοι καὶ τοῖς ἄλλοις ἅπα-
281 σιν ἀνθρώποις ἀεὶ καὶ μᾶλλον αὐτῶν ζῆλον ἐμπεποιήκασι. πρῶτοι μὲν γὰρ οἱ παρὰ τοῖς Ἕλλησι φιλοσοφήσαντες τῷ μὲν δοκεῖν τὰ πάτρια διεφύλαττον, ἐν δὲ τοῖς πράγμασι καὶ τῷ φιλοσοφεῖν ἐκείνῳ κατηκολούθησαν, ὅμοια μὲν περὶ θεοῦ φρονοῦντες, εὐτέλειαν δὲ
282 βίου καὶ τὴν πρὸς ἀλλήλους κοινωνίαν διδάσκοντες. οὐ μὴν ἀλλὰ καὶ πλήθεσιν ἤδη πολὺς ζῆλος γέγονεν ἐκ μακροῦ τῆς ἡμετέρας εὐσεβείας, οὐδ' ἔστιν οὐ πόλις Ἑλλήνων οὐδητισοῦν οὐδὲ βάρβαρον οὐδὲ ἓν ἔθνος, ἔνθα μὴ τὸ τῆς ἑβδομάδος, ἣν ἀργοῦμεν ἡμεῖς,

---

3 ὅσας δὲ — 4 ἐξετάζειν] *quantas autem occasiones contineant de abnegatione pietatis, examinare longissimum est* Lat ὅσας δὲ] Lat Dindorf ὅσασ καὶ L περὶ τῆς ἀσεβείας non intellego 7 καὶ οὐδεὶς — 9 νόμον] *nullusque iudaeorum neque si procul abeat et prouinciam ubregem* (*uberem* Canon. *ut regem* Par. 1615 Corsin. *uel regem* Par. 5049) *quamuis acerbum sic metuit ultra illum* (om. Canon.) *legis uideatur timere praeceptum* Lat 8 οὕτως] ed. pr. οὔθ' ὡς L 18 παρὰ — τοῦτον] *hunc ultra omnes inueniet* Lat πάντας] πάντ' ἂν coni. τοῦτον cum insequentibus coniungendum est; nam hoc uoluit Josephus: per omne hoc tempus leges non solum a nobis probati sunt, sed etiam aliorum hominum studium excitauerunt; quod efficietur si ὅτι post τοῦτον addetur 19 διηλέγχθησαν] *declaratae sunt* Lat δὴ ἠλέγχθησαν Bekker 20 αὐτῶν L 22 πράγμασι] γράμμασι coni. ἐκείνῳ] *illa* Lat ἐκείνοις Bekker 26 βάρβαρον] coni. βάρβαροσ LLat 27 οὐδὲ ἓν ἔθνος] *nec una gens* Lat τὸ spurium uid.

τὸ ἔθος [δὲ] διαπεφοίτηκεν καὶ αἱ νησταῖαι καὶ λύχνων ἀνακαύσεις
καὶ πολλὰ τῶν εἰς βρῶσιν ἡμῖν οὐ νενομισμένων παρατετήρηται.
μιμεῖσθαι δὲ πειρῶνται καὶ τὴν πρὸς ἀλλήλους ἡμῶν ὁμόνοιαν 283
καὶ τὴν τῶν ὄντων ἀνάδοσιν καὶ τὸ φιλεργὸν ἐν ταῖς τέχναις καὶ
τὸ καρτερικὸν ἐν ταῖς ὑπὲρ τῶν νόμων ἀνάγκαις· τὸ γὰρ θαυμα- 284
σιώτατον, ὅτι χωρὶς τοῦ τῆς ἡδονῆς ἐπαγωγοῦ δελέατος αὐτὸς καθ'
ἑαυτὸν ἴσχυσεν ὁ νόμος, καὶ ὥσπερ ὁ θεὸς διὰ παντὸς τοῦ κόσμου
πεφοίτηκεν, οὕτως ὁ νόμος διὰ πάντων ἀνθρώπων βεβάδικεν. αὐ-
τὸς δέ τις ἕκαστος τὴν πατρίδα καὶ τὸν οἶκον ἐπισκοπῶν τὸν αὐτοῦ
τοῖς ὑπ' ἐμοῦ λεγομένοις οὐκ ἀπιστήσει. χρὴ τοίνυν πάντων ἀν- 285
θρώπων καταγνῶναι πονηρίαν ἐθελούσιον, εἰ τἀλλότρια καὶ φαῦλα
πρὸ τῶν οἰκείων καὶ καλῶν ζηλοῦν ἐπιτεθυμήκασιν, ἢ παύσασθαι
βασκαίνοντας ἡμῖν τοὺς κατηγοροῦντας. οὐδὲ γὰρ ἐπιφθόνου τινὸς 286
ἀντιποιούμεθα πράγματος τὸν αὐτῶν τιμῶντες νομοθέτην καὶ τοῖς
ὑπ' ἐκείνου προφητευθεῖσι περὶ τοῦ θεοῦ πεπιστευκότες· καὶ γὰρ
εἰ μὴ συνίεμεν αὐτοὶ τῆς ἀρετῆς τῶν νόμων, ἁπάντων ἂν ὑπὸ τοῦ
πλήθους τῶν ζηλούντων μέγα φρονεῖν ἐπ' αὐτοῖς προήχθημεν.

40. Ἀλλὰ γὰρ περὶ μὲν τῶν νόμων καὶ τῆς πολιτείας τὴν 287
ἀκριβῆ πεποίημαι παράδοσιν ἐν τοῖς περὶ ἀρχαιολογίας μοι γρα-
φεῖσι. νυνὶ δ' αὐτῶν ἐπεμνήσθην ἐφ' ὅσον ἦν ἀναγκαῖον, οὔτε
τὰ τῶν ἄλλων ψέγειν οὔτε τὰ παρ' ἡμῖν ἐγκωμιάζειν προθέμενος,
ἀλλ' ἵνα τοὺς περὶ ἡμῶν ἀδίκως γεγραφότας ἐλέγξω πρὸς αὐτὴν
ἀναιδῶς τὴν ἀλήθειαν πεφιλονεικηκότας. καὶ δή μοι δοκῶ πεπλη- 288
ρῶσθαι διὰ τῆς γραφῆς ἱκανῶς ἃ προϋπεσχόμην· καὶ γὰρ ἀρχαιό-
τητι προϋπάρχον ἐπέδειξα τὸ γένος, τῶν κατηγόρων ὅτι νεώτατόν
ἐστιν εἰρηκότων, [καὶ γὰρ] καὶ πολλοὺς ἐν τοῖς συγγράμμασιν ἐμνη-
μονευκότας ἡμῶν ἀρχαίους παρέσχομεν μάρτυρας, ἐκείνων ὅτι μηδεὶς

---

1 τὸ om. Dindorf ἔθος] ed. pr. *consuetudo* Lat ἔθνοσ L δὲ] οὐ ed. pr. 2 καὶ πολλὰ — 3 πειρῶνται καὶ] *sed etiam ciborum apud nos sollemnia plurima apud multos iugiter obseruare conantur insuper imitari etiam* Lat οὐ νενομισμένων] νενομισμένων οὐ coni. 4 τὸ] ed. pr., om. L 6 χωρὶς — δελέατος] *praeter impulsorem huius obseruationis* Lat ἐπαγωγοῦ δελέατος] coni. ἐπαγωγοῦ οὐ δελεαστὸσ L 10 τοίνυν] τοίνυν ἢ coni. 11 καταγνόναι L, corr. ed. pr. εἶτ' ἀλλότρια L εἰ] *aut* Lat 16 ἁπάντων] om. Lat πάντως coni. ἁπάντων — 17 προήχθημεν] *numquam magna sapere super his tantus populus zelatur* (*zelaretur* ed. Bas.) Lat ἂν ὑπὸ τοῦ πλήθους] ὑπὸ τοῦ πλήθους γοῦν ed. pr. 21 προθέμενος] ed. pr. *proponens* Lat προσθέμενοσ L 22 ἀδίκως] LLat, mihi suspectum 24 προυπεσχόμην L καὶ γὰρ — 26 πολλοὺς] *denique in principio demonstraui genus accusatorum esse recentissimum atque nouum et multos* Lat 25 προυπάρχον L 26 καὶ γὰρ om. Lat recte 27 παρέσχομεν] *exhibui* Lat ὅτι — 98, 1 διαβεβαιουμένων om. Lat

289 ἐστιν διαβεβαιουμένων. ἀλλὰ μὴν Αἰγυπτίους ἔφασαν ἡμῶν τοὺς προγόνους· ἐδείχθησαν δ' εἰς Αἴγυπτον ἐλθόντες ἑτέρωθεν. διὰ δὲ λύμην σωμάτων αὐτοὺς ἐκβληθῆναι κατεψεύσαντο· προαιρέσει καὶ περιουσίᾳ ῥώμης ἐφάνησαν ἐπὶ τὴν οἰκείαν ὑποστρέψαντες γῆν.
290 οἱ μὲν ὡς φαυλότατον ἡμῶν τὸν νομοθέτην ἐλοιδόρησαν· τῷ δὲ τῆς ἀρετῆς πάλαι μὲν ὁ Θεός, μετ' ἐκεῖνον δὲ μάρτυς ὁ χρόνος εὕρηται γεγενημένος.

291 41. Περὶ τῶν νόμων οὐκ ἐδέησε λόγου πλείονος· αὐτοὶ γὰρ ἑωράθησαν δι' αὐτῶν οὐκ ἀσέβειαν μὲν εὐσέβειαν δ' ἀληθεστάτην διδάσκοντες, οὐδ' ἐπὶ μισανθρωπίαν, ἀλλ' ἐπὶ τὴν τῶν ὄντων κοινωνίαν παρακαλοῦντες, ἀδικίας ἐχθροί, δικαιοσύνης ἐπιμελεῖς, ἀργίαν καὶ πολυτέλειαν ἐξορίζοντες, αὐτάρκεις καὶ φιλοπόνους εἶναι
292 διδάσκοντες, πολέμων μὲν ἀπείργοντες εἰς πλεονεξίαν, ἀνδρείους δὲ ὑπὲρ αὐτῶν εἶναι παρασκευάζοντες, ἀπαραίτητοι πρὸς τὰς τιμωρίας, ἀσόφιστοι λόγων παρασκευαῖς, τοῖς ἔργοις ἀεὶ βεβαιούμενοι· ταῦτα γὰρ [ἀεὶ] ἡμεῖς παρέχομεν τῶν γραμμάτων ἐναργέ-
293 στερα. διόπερ ἐγὼ θαρσήσας ἂν εἴποιμι πλείστων ἅμα καὶ καλλίστων ἡμᾶς εἰσηγητὰς τοῖς ἄλλοις γεγονέναι· τί γὰρ εὐσεβείας ἀπαραβάτου κάλλιον; τί δὲ τοῦ πειθαρχεῖν τοῖς νόμοις δικαιότερον;
294 ἢ τί συμφορώτερον τοῦ πρὸς ἀλλήλους ὁμονοεῖν καὶ μήτ' ἐν συμφοραῖς διίστασθαι μήτ' ἐν εὐτυχίαις στασιάζειν ἐξυβρίζοντας, ἀλλ' ἐν πολέμῳ μὲν θανάτου καταφρονεῖν, ἐν εἰρήνῃ δὲ τέχναις ἢ γεωργίαις προσανέχειν, πάντα δὲ καὶ πανταχοῦ πεπεῖσθαι τὸν Θεὸν
295 ἐποπτεύοντα διέπειν; ταῦτ' εἰ μὲν παρ' ἑτέροις ἢ ἐγράφη πρότερον ἢ ἐφυλάχθη βεβαιότερον, ἡμεῖς ἂν ἐκείνοις χάριν ὠφείλομεν ὡς μαθηταὶ γεγονότες· εἰ δὲ καὶ χρώμενοι μάλιστα πάντων βλεπόμεθα καὶ τὴν πρώτην εὕρεσιν αὐτῶν ἡμετέραν οὖσαν ἐπεδείξαμεν, Ἀπίωνες μὲν καὶ Μόλωνες καὶ πάντες ὅσοι τῷ ψεύδεσθαι

---

2 ἐδείχθησαν δ'] *et ostensum est* Lat δ' spurium uid. 3 δὲ] τε coni. *et* ante προαιρέσει add. Lat 4 ἐπὶ] εἰς coni. 6 ὁ θεός] *ipse (deus ipse* coni.) Lat 8 Περὶ] καίτοι περὶ coni. Περὶ τῶν νόμων] *de legibus autem* Lat 9 ἑοράθησαν L, corr. ed. pr. οὐκ ἀσέβειαν — 10 διδάσκοντες] *piae et uerissimam habentes intentionem* Lat 14 δὲ i. ras. L 15 παρασκευὰς uertit Lat 16 ταῦτα] *haec — opera* Lat ἀεὶ suspectum 20 ἢ om. Lat συμφορώτερον] Oberthür συμφερώτερον L 23 πάντα — 24 διέπειν] *et semper et ubique credere deum respicere et solum omnia gubernare* Lat 24 ταῦτ' εἰ] ex Lat ed. pr. ταυτὶ L πρότερον] Dindorf πρῶτον LLat 25 βεβαιοτέραν uertit Lat ὠφείλομεν] Dindorf ὀφείλομεν LLat 26 μαθηταὶ] *eorum — discipuli* Lat εἰ δὲ — βλεπόμεθα] *si* (om. codd.) *uero nequaquam primitus extiterunt his praecipue nos utentes agnoscimur* Lat, corrupte 28 τῷ] ed. pr. ex Lat τῶν L

καὶ λοιδορεῖν χαίρουσιν ἐξεληλέγχθωσαν. σοὶ δέ, Ἐπαφρόδιτε, μά- 296
λιστα τὴν ἀλήθειαν ἀγαπῶντι καὶ διὰ σὲ τοῖς ὁμοίως βουλησο-
μένοις περὶ τοῦ γένους ἡμῶν εἰδέναι τοῦτο καὶ τὸ πρὸ αὐτοῦ γε-
γράφθω βιβλίον.

---

1 ἐξεληλέγχθωσαν L *conuicti procul abscedant* Lat 2 τοῖς] ed. pr. τοὺς L βουλησομένοις] coni. βουλευσαμένους L *cogitantibus* Lat βουλευσαμένοις ed. pr. 3 τοῦτο] τοῦτο τὲ ed. pr. καὶ τὸ πρὸ αὐτοῦ om. Lat

Subscriptio: φλαΐου ἰωσήπου π ε ἀρχαιότητ ο ἀντιῤῥήσεως λ ο β ἑβραίων τουτέστιν ἰουδαίων ἀντιλεγομένων δίωρ ÷ L *explicit liber II flauii ioseppi de uetustate iudaeorum* Lat

Lipsiae, typis I. B. Hirschfeldi.